ἢ τὶς ἠγόρασε. ἐνετρέποντο οὖν ἀμφότεροι εἰπεῖν, διὰ τὸ ἐλάχιστον τίμημα. ὁ δὲ Αἴσωπος ἀνέκραγε, ὁ πραθεὶς ἐγὼ, ὁ πωλήσας οὗτος, καὶ οὗτος ὁ ἀγοράσας. εἰ δὲ οὗτοι σιωπῶσιν, ἐγὼ ἐλεύθερος εἰμί. Οἱ δὲ τελῶναι γελάσαντες ἐχάρισαν τῷ Ξάνθῳ τὸ τέλος, ἀλλήλοις δὲ συνταξάμενοι ἐχωρίσθησαν. ὁ δὲ Αἴσωπος ἠκολούθει τῷ Ξάνθῳ. καύματος δὲ μεσημβρινοῦ παρόντος, καὶ τῆς ὁδοῦ ἐκκαιούσης, ὁ Ξάνθος διὰ πλατινῶν περιπατῶν, τὰ ἱμάτια ἀνασυράμενος, οὔρει. ὁ δὲ Αἴσωπος θεασάμενος καὶ ἐκ τῶν ὄπισθεν τοῦ ἱματίου δραξάμενος, εἵλκυσεν αὐτὸν, καὶ φησὶ, πώλησόν με ταχὺ, ἐπεὶ δραπετεύσω. Καὶ ὁ Ξάνθος, διατί, φησί. ὁ δὲ, ὅτι οὐ δύναμαι τοιούτῳ δεσπότῃ δουλεύειν. ὁ Ξάνθος, διατί. ὁ δὲ λέγει, ὅτι σὺ δεσπότης ὢν καὶ μηδένα φοβούμενος, οὐ καὶ τύχῃ βραδύναι σε